eul_wid: tqa-ac

*Ἀνώνυμος γραμματικός* · Greek Grammarian Anonymous

# Supplements to the Ancient Art of Dionysius

*Προσθῆκαι εἰς τὴν Ἀρχαίαν Τέχνην τοῦ Διονυσίου*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινή* Koine (frg)
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πραγματεία* Treatise

1 1 105 (2) ΠΕΡῚ ΠΡΟΣΩΙΔΙ Ω͂Ν Προσῳδίαι εἰσὶ δέκα· ὀξεῖα ´ , βαρεῖα ` , περισπωμένη ͂ , μακρά –, βραχεῖα , δασεῖα ῾, ψιλή ̓, ἀπόστροφος ’, ὑφέν ‿ ὑποδιαστολή , .

1 1 106 [τούτων εἰσὶν σημεῖα τάδε· ὀξεῖα οἷον Ζεύ c, βαρεῖα οἷον Πὰ ν, περισπωμένη οἷον πῦ ρ, μακρὰ οἷον Ἥρα ̄, βραχεῖα οἷον γᾰ ρ, δασεῖα οἷον ῥῆμ α, ψιλὴ οἷον ἄρτο c, ἀπόστροφος οἷον ὣς ἔφα τ’, ὑφὲν ὡς πασι ‿μέλουσα 〈μ 70〉 , ὑποδιαστολὴ « Δία δ ’ οὐκ ἔχεν , ἥδυμος ὕπνο c» 〈Β 2〉 .] Διαιροῦνται δὲ αἱ προσῳδίαι εἰς τέσσαρα· εἰς τόνους, εἰς χρόνους, εἰς πνεύματα, εἰς πάθη.

1 1 107 Τόνοι μὲν οὖν εἰσι τρεῖς· ὀξύς ´ , βαρύς ` , περισπώμενος ͂ . χρόνοι δύο· μακρὸς – καὶ βραχύς . πνεύματα δύο· δασὺ ῾ καὶ ψιλόν ̓. πάθη τρία· ἀπόστροφος ’, ὑφέν ‿ ὑποδιαστολή , . Ἡ ὀξεῖα τόπους ἔχει τρεῖς· ὀξύτονον, παροξύτονον, ὃ καὶ βαρύτονον 〈λέγεται, καὶ προπαροξύτονον, ὃ καὶ βαρύτονον〉 παρατέλευτον λέγεται.

1 1 109 ὀξύτονον ὄνομα καλεῖται τὸ ἐπὶ τοῦ τέλους ἔχον τὴν ὀξεῖαν, οἷον καλός σοφός δυνατό c. παροξύτονον ὄνομα καλεῖται τὸ πρὸ μιᾶς συλλαβῆς τοῦ τέλους ἔχον τὴν ὀξεῖαν, οἷον Ἰωάννης Πέτρο c. προπαροξύτονον ὄνομα καλεῖται τὸ πρὸ δύο συλλαβῶν τοῦ τέλους ἔχον τὴν ὀξεῖαν, οἷον Γρηγόριος Θεόδωρο c. Ἡ περισπωμένη τόπους ἔχει δύο, περισπώμενον καὶ προπερισπώμενον.

1 1 110 περισπώμενον ὄνομα καλεῖται τὸ ἐπὶ τοῦ τέλους ἔχον τὴν περισπωμένην, οἷον Θωμᾶς Λουκᾶ c. προπερισπώμενον ὄνομα καλεῖται τὸ πρὸ μιᾶς συλλαβῆς τοῦ τέλους ἔχον τὴν περισπωμένην, οἷον κῆπος δῆμο c. Ἡ γὰρ βαρεῖα συλλαβικὸς τόνος ἐστί, τουτέστιν εἰς τὴν συλλαβὴν τὴν μὴ ἔχουσαν τὸν κύριον τόνον ἐπὶ τέλους ἐτίθετο. ἀλλ’ ἵνα μὴ καταχαράσσωνται τὰ βιβλία, τοῦτο νῦν οὐ γίνεται, ἀλλ’ εἰς τὸν τόπον τῆς ὀξείας ἐν τῇ συνεπείᾳ τίθεται· οἷον ἄνθρωπος καλό c.

1 1 111 ἰδοὺ ἐνταῦθα εἰς τὸ λος ἐτέθη ἡ ὀξεῖα, ὅτι ἐπὶ τέλους εὑρέθη. ἐὰν δὲ εἴπῃς καλὸς ἄνθρωπο c, ἰδοὺ ὧδε εἰς τὸ λος ἐτέθη ἡ βαρεῖα, ὅτι μετὰ ταῦτα ἐτέθη τὸ ἄνθρωπο c. Περὶ γὰρ τῆς μακρᾶς καὶ τῆς βραχείας οὐκ ἔστι νῦν πολλὴ χρεία. Ἡ δὲ δασεῖα τίθεται εἰς γράμμα φωνῆεν δασυνόμενον, οἷον ἡμέρα ὥρα καὶ εἰς τὰ ὅμοια.

1 1 112 ὁμοίως καὶ ἡ ψιλὴ τίθεται εἰς γράμμα φωνῆεν ψιλούμενον, οἷον ἔγραφον ὄνομα καὶ εἰς τὰ ὅμοια. φωνήεντα δὲ γράμματά εἰσιν ἑπτά· α ε η ι ο υ ω . Ἡ δὲ ἀπόστροφος τίθεται, ὅτ’ ἂν διὰ τὴν καλλιφωνίαν κουφίζηται τὸ ἓν φωνῆεν γράμμα, ὁπηνίκα δύο φωνήεντά εἰσιν ἐν μιᾷ λέξει, οἷον οὐ χ ’ οὕτω c , « οἱ ἀσεβεῖς οὐ χ ’ οὕτω c » 〈Psalm.

1 1 113 I 4〉 . ἥρμοζεν γὰρ οὐχὶ οὕτω c , « οἱ ἀσεβεῖς οὐχὶ οὕτω c». ἀλλὰ διὰ τὴν καλλιφωνίαν ἐκουφίσθη τὸ ι , καὶ ἀντ’ αὐτοῦ εἰσῆλθεν ἄνωθεν ἡ ἀπόστροφος. οὕτως καὶ τὰ ὅμοια. Ἡ δὲ ὑφὲν τίθεται, ὅτ’ ἂν δύο λέξεις ἐν τῷ ἅμα ὀφείλωσι λέγεσθαι, οἷον φιλό‿θεος ἀρχι‿στράτηγο c, καὶ εἰς τὰ ὅμοια.

1 1 114 Ἡ δὲ διαστολὴ τίθεται, ὅτ’ ἂν διαστεῖλαι καὶ διαχωρίσαι ὀφείλωμέν τινα λέξιν, οἷον ἔστιν , ἄξιο c. μεταξὺ τοῦ ν καὶ τοῦ α εἰσῆλθεν ἡ διαστολή, ἵνα μὴ ὁ ἀναγινώσκων ἀντὶ τοῦ εἰπεῖν ἔστιν , ἄξιος εἴπῃ ἔστι , Νάξιο c, τουτέστιν ἀπὸ τῆς Ναξίας τῆς νήσου. οὕτως καὶ τὰ ὅμοια. ΠΕΡῚ ΤΈΧΝΗΣ Τέχνη ἐστὶ σύστημα ἐκ καταλήψεων ἐγγεγυμνασμένων πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ.

1 1 116 τῶν δὲ τεχνῶν διαφοραί εἰσι δύο. αἱ μὲν γὰρ αὐτῶν εἰσι λογικαί, αἱ δὲ πρακτικαί. καὶ λογικαὶ μέν εἰσιν οἷον γραμματική, ῥητορική, φιλοσοφική· πρακτικαὶ δὲ οἷον τεκτονική, χαλκευτικὴ καὶ αἱ τούτοις παραπλήσιοι.

1 1 117 ΠΕΡῚ ΠΟΔ ΩῚΝ Πούς ἐστι μετρικὸν σύστημα συλλαβῶν, ὁ μὲν ἁπλοῦς δύο ἢ τριῶν, ὁ δὲ σύνθετος ἀπὸ τεσσάρων μέχρις ἕξ. Πόδες εἰσὶν ἁπλοῖ μὲν δύο καὶ δέκα, ὧν δισύλλαβοι μὲν τέσσαρες, τρισύλλαβοι δὲ ὀκτώ. τετρασύλλαβοι δὲ δεκαέξ. καὶ δισύλλαβοι μὲν οἵδε· σπονδεῖος ἐκ δύο μακρῶν = τετράχρονος, οἷον ἥρω c· πυρρίχιος ἐκ δύο βραχειῶν δίχρονος, οἷον λόγο c· τροχαῖος ἐκ μακρᾶς – καὶ βραχείας τρίχρονος, οἷον Σόλω ν· ἴαμβος ἐκ βραχείας καὶ μακρᾶς – τρίχρονος, οἷον Σόλω ν.

1 1 118 Τρισύλλαβοι δὲ ὀκτώ· δάκτυλος ἐκ μακρᾶς – καὶ δύο βραχειῶν τετράχρονος, οἷον Ἥλιο c· ἀνάπαιστος ἐκ δύο βραχειῶν καὶ μακρᾶς – τετράχρονος, οἷον Πολέμω ν· ἀμφίμακρος ἐκ μακρᾶς – καὶ βραχείας καὶ μακρᾶς – πεντάχρονος, οἷον Ἡγεμώ ν· ἀμφίβραχυς ἐκ βραχείας καὶ μακρᾶς – καὶ βραχείας τετράχρονος, οἷον Σερῆνο c· βακχεῖος ἐκ βραχείας καὶ δύο μακρῶν = πεντάχρονος, οἷον Νοήμω ν· παλιμβάκχειος ἐκ δύο μακρῶν = καὶ βραχείας πεντάχρονος, οἷον Ἥφαιστο c· χορεῖος ἐκ τριῶν βραχειῶν τρίχρονος, οἷον Δολίο c· μολοσσὸς ἐκ τριῶν μακρῶν ≡ ἑξάχρονος, οἷον Ἡρώδη c.

1 1 119 τοῖς γὰρ τετρασυλλάβοις οὐ χρῶνται οἱ μετρικοὶ ἐν τοῖς χρόνοις τούτοις. Τετρασύλλαβοι δὲ δεκαέξ· προκελευσματικὸς ἐκ τεσσάρων βραχειῶν τετράχρονος, οἷον φιλόσοφο c.

1 1 120 παίων πρῶτος ἐκ μακρᾶς – καὶ τριῶν βραχειῶν πεντάχρονος, οἷον Στησίχορο c· παίων δεύτερος ἐκ βραχείας καὶ μακρᾶς – καὶ δύο βραχειῶν πεντάχρονος, οἷον Ὀνήσιμο c· παίων τρίτος ἐκ δύο βραχειῶν καὶ μακρᾶς – καὶ βραχείας πεντάχρονος, οἷον Κλεόβουλο c· παίων τέταρτος ἐκ τριῶν βραχειῶν καὶ μακρᾶς – πεντάχρονος, οἷον Ἐπιγένη c· ἰωνικὸς ἀπὸ μείζονος ἐκ δύο μακρῶν = καὶ δύο βραχειῶν ἑξάχρονος, οἷον Δημήτριο c· ἰωνικὸς ἀπ’ ἐλάσσονος ἐκ δύο βραχειῶν καὶ δύο μακρῶν = ἑξάχρονος, οἷον Διομήδη c. χορίαμβος ἐκ μακρᾶς – καὶ δύο βραχειῶν καὶ μακρᾶς – ἑξάχρονος, οἷον Εὐφορίω ν· ἀντίσπαστος ἐκ βραχείας καὶ δύο μακρῶν = καὶ βραχείας ἑξάχρονος, οἷον Ἀλέξανδρο c· διίαμβος ἐκ βραχείας καὶ μακρᾶς – καὶ βραχείας καὶ μακρᾶς – ἑξάχρονος, οἷον Ἀνακρέω ν· διτρόχαιος ἐκ μακρᾶς – καὶ βραχείας καὶ μακρᾶς – καὶ βραχείας ἑξάχρονος, οἷον Ἀρχέδημο c· ἐπίτριτος πρῶτος ἐκ βραχείας καὶ μακρῶν τριῶν ≡ ἑπτάχρονος, οἷον Ἀριστείδη c· ἐπίτριτος δεύτερος ἐκ μακρᾶς – καὶ βραχείας καὶ δύο μακρῶν = ἑπτάχρονος, οἷον Εὐρυμήδη c.

1 1 121 ἐπίτριτος τρίτος ἐκ δύο μακρῶν = καὶ βραχείας καὶ μακρᾶς – ἑπτάχρονος, οἷον Δημοσθένη c· ἐπίτριτος τέταρτος ἐκ τριῶν μακρῶν ≡ καὶ βραχείας ἑπτάχρονος, οἷον Καλλίξεινο c· δισπόνδειος ἐκ τεσσάρων μακρῶν = = ὀκτάχρονος, οἷον Ἡρακλείδη c. ΠΕΡῚ ΤΟ ῪἩΡΩΪΚΟ ῪΜΈΤΡΟΥ Τὸ ἡρωϊκὸν μέτρον ἑξάμετρόν ἐστιν· ἓξ γὰρ χώρας ἔχει. τὰς μὲν οὖν πέντε συγκειμένας ἔχει ἔκ τε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δακτύλου καὶ σπονδείου, ἐνίοτε δὲ καὶ παλιμβάκχειον καὶ ἀμφίμακρον δέχεται, καθαροὺς μέντοι καὶ ἐν τάξει δακτυλικοῦ κειμένους.

1 1 122 καθαροὶ δέ εἰσιν ὅτ’ ἂν ἀπαρτίζωσιν εἰς μέρος λόγου καὶ τὴν ἐπιφερομένην συλλαβὴν ἀρχομένην ἔχωσιν ἀπὸ φωνήεντος, ὅς ἐστι παλιμβάκχειος, ὡς τὸ «πλάγχθη ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσεν» 〈α 2〉 · ἀπήρτισται εἰς μέρος λόγου τὸ πλάγχθη καὶ ἄρχεται ἀπὸ φωνήεντος τοῦ ε . ἀμφίμακρος, ὡς τὸ «οὔ τί μοι αἰτίη ἐσσί, θεοί νύ μοι αἴτιοί εἰσιν» 〈Γ 164〉 . εἰς γὰρ μέρος λόγου ἀπήρτισται ἡ μοι συλλαβὴ καὶ ἑξῆς ἄρχεται ἀπὸ τῆς διφθόγγου. ἡ δὲ ἕκτη χώρα σπονδεῖον δέχεται καὶ τροχαῖον. ἐπὶ παντὸς μέτρου ἀδιάφορός ἐστιν ἡ τελευταία συλλαβή. ἡρωϊκὸν δὲ καλεῖται τὸ μέτρον, ἐπείπερ Ὅμηρος ὁ ποιητὴς τὰς τῶν ἡρώων πράξεις διεξιὼν τούτῳ κέχρηται τῷ μέτρῳ. [Ὁ ἴαμβος ἓξ χώρας ἐπιδέχεται. τὰς μὲν πέντε συγκειμένας ἔχει ἐκ σπονδείου καὶ δακτύλου καὶ ἀναπαίστου καὶ χορείου καὶ ἰάμβου.

1 1 123 ὁ μὲν πρῶτος καὶ τρίτος καὶ πέμπτος ποὺς ἐπιδέχεται τούτων τὸν ἐμπίπτοντα. ὁ δὲ δεύτερος καὶ τέταρτος ποὺς τοὺς ἀπὸ βραχείας ἀρχομένους ἐπιδέχονται. οὗτοι δέ εἰσιν ἴαμβος, χορεῖος, ἀνάπαιστος. ἡ δὲ ἕκτη χώρα ἐπὶ παντὸς μέτρου ἀδιάφορός ἐστιν.] Τομαί εἰσι τέσσαρες· πενθημι ερίς, ἑφθημιμερίς, κατὰ τρίτον τροχαῖον, τετραποδία βουκολική. πενθημιμερὶς δὲ λέγεται, ὅτι τῶν πέντε τὸ ἥμισυ ἔχει, τουτέστι δύο πόδας καὶ μίαν συλλαβήν, οἷον «Ἀτρείδη, ποῖον» 〈Δ 350 Ξ 83〉 . ἑφθημιμερὶς δὲ λέγεται, ὅτ’ ἂν μετὰ τοὺς τρεῖς πόδας εὑρεθῇ συλλαβὴ ἀπαρτίζουσα εἰς μέρος λόγου· καὶ λέγεται ἑφθημιμερίς, ἐπειδὴ τῶν ἑπτὰ τὸ ἥμισυ 〈ἔχει〉 , οἷον «Ἀτρείδη, ποῖόν σε ἔπος».

1 1 124 κατὰ τρίτον δὲ τροχαῖον λέγεται, ὅτ’ ἂν μετὰ τοὺς δύο πόδας εἰς μέρος λόγου τροχαῖος ἀπαρτίζῃ, οἷον «Ἀτρείδη, ποῖόν σε». τετραποδία δὲ βουκολικὴ λέγεται, ὅτ’ ἂν ὦσι τέσσαρες πόδες πλήρεις ἀπαρτίζοντες 〈εἰς〉 μέρος λόγου, οἷον «Ἀτρείδη, ποῖόν σε ἔπος φύγεν». Ῥῆμα ὁριστικὸν ἐνεργητικὸν ἁπλοῦν συζυγίας πρώτης τῶν βαρυτόνων ῥημάτων ἐγκλίσεως ὁριστικῆς χρόνου ἐνεστῶτος τῶν τριῶν προσώπων τε καὶ ἀριθμῶν Ἑ ν .

1 1 125,col1 (2) τύπτω τύπτεις τύπτει Δ υ . τύπτετον τύπτετον Πλη θ . τύπτομεν τύπτετε τύπτουσι Παρατατικοῦ Ἑ ν . ἔτυπτον ἔτυπτες ἔτυπτε Δ υ . ἐτύπτετον ἐτυπτέτην Πλη θ . ἐτύπτομεν ἐτύπτετε ἔτυπτον Παρακειμένου Ἑ ν .

1 1 125,col2 (9) τέτυφα τέτυφας τέτυφε Δ υ . τετύφατον τετύφατον Πλη θ . τετύφαμεν τετύφατε τετύφασι Μέσου παρακειμένου Ἑ ν . τέτυπα τέτυπας τέτυπε Δ υ . τετύπατον τετύπατον Πλη θ . τετύπαμεν τετύπατε τετύπασι Ὑπερσυντελίκου Ἑ ν .

1 1 125,col3 (9) ἐτετύφειν ἐτετύφεις ἐτετύφει Δ υ . ἐτετύφειτον ἐτετυφείτην Πλη θ . ἐτετύφειμεν ἐτετύφειτε ἐτετύφεισαν Μέσου ὑπερσυντελίκου Ἑ ν . Ἐτετύπειν ἐτετύπεις ἐτετύπει Δ υ . ἐτετύπειτον ἐτετυπείτην Πλη θ . ἐτετύπειμεν ἐτετύπειτε ἐτετύπεισαν Ἀορίστου α′ Ἑ ν .

1 1 126,col1 ἔτυψα ἔτυψας ἔτυψε Δ υ . ἐτύψατον ἐτυψάτην Πλη θ . ἐτύψαμεν ἐτύψατε ἔτυψαν Ἀορίστου β′ Ἑ ν . ἔτυπον ἔτυπες ἔτυπε Δ υ . ἐτύπετον ἐτυπέτην Πλη θ . ἐτύπομεν ἐτύπετε ἔτυπον Μέλλοντος α′ Ἑ ν . τύψω τύψεις τύψει Δ υ . τύψετον τύψετον Πλη θ . τύψομεν τύψετε τύψουσι Μέλλοντος β′ Ἑ ν . τυπῶ τυπεῖς τυπεῖ Δ υ . τυπεῖτον τυπεῖτον Πλη θ . τυποῦμεν τυπεῖτε τυποῦσι Ὁριστικὰ παθητικὰ χρόνου ἐνεστῶτος Ἑ ν .

1 1 126,col2 τύπτομαι τύπτῃ τύπτεται Δ υ . τυπτόμεθον τύπτεσθον τύπτεσθον Πλη θ . τυπτόμεθα τύπτεσθε τύπτονται Παρατατικοῦ Ἑ ν . ἐτυπτόμην ἐτύπτου ἐτύπτετο Δ υ . ἐτυπτόμεθον ἐτύπτεσθον ἐτυπτέσθην Πλη θ . ἐτυπτόμεθα ἐτύπτεσθε ἐτύπτοντο Παρακειμένου Ἑ ν . τέτυμμαι τέτυψαι τέτυπται Δ υ . τετύμμεθον τέτυφθον τέτυφθον Πλη θ . τετύμμεθα τέτυφθε τετυμμένοι εἰσίν, καὶ ἰακῶς τετύφαται Ὑπερσυντελίκου Ἑ ν . ἐτετύμμην ἐτέτυψο ἐτέτυπτο Δ υ . ἐτετύμμεθον

ἐτέτυφθον ἐτετύφθην Πλη θ . ἐτετύμμεθα ἐτέτυφθε τετυμμένοι ἦσαν, καὶ ἰακῶς ἐτετύφατο Ἀορίστου α′ Ἑ ν . [40]

1 1 126,col3 ἐτύφθην ἐτύφθης ἐτύφθη Δ υ . ἐτύφθητον ἐτυφθήτην Πλη θ . ἐτύφθημεν ἐτύφθητε ἐτύφθησαν Μέσου ἀορίστου α′ Ἑ ν . Ἑ ν . ἐτυψάμην ἐτύψω ἐτύψατο Δ υ . ἐτυψάμεθον ἐτύψασθον ἐτυψάσθην Πλη θ . ἐτυψάμεθα ἐτύψασθε ἐτύψαντο Ἀορίστου β′ Ἑ ν . ἐτύπην ἐτύπης ἐτύπη Δ υ . ἐτύπητον ἐτυπήτην Πλη θ . ἐτύπημεν ἐτύπητε ἐτύπησαν Μέσου ἀορίστου β′ Ἑ ν . ἐτυπόμην ἐτύπου ἐτύπετο Δ υ . ἐτυπόμεθον ἐτύπεσθον ἐτυπέσθην Πλη θ . ἐτυπόμεθα ἐτύπεσθε ἐτύποντο Μέλλοντος α′ Ἑ ν . [40]

1 1 127,col1 τυφθήσομαι τυφθήσῃ τυφθήσεται Δ υ . τυφθησόμεθον τυφθήσεσθον τυφθήσεσθον Πλη θ . τυφθησόμεθα τυφθήσεσθε τυφθήσονται Μέσου μέλλοντος α′ Ἑ ν . τύψομαι τύψῃ τύψεται Δ υ . τυψόμεθον τύψεσθον τύψεσθον Πλη θ . τυψόμεθα τύψεσθε τύψονται Μέλλοντος β′ Ἑ ν . τυπήσομαι τυπήσῃ τυπήσεται Δ υ . τυπησόμεθον τυπήσεσθον τυπήσεσθον Πλη θ . τυπησόμεθα τυπήσεσθε τυπήσονται Μέσου μέλλοντος β′ Ἑ ν . [30]

1 1 127,col2 τυποῦμαι τυπῇ τυπεῖται Δ υ . τυπούμεθον τυπεῖσθον τυπεῖσθον Πλη θ . τυπούμεθα τυπεῖσθε τυποῦνται Με τ ’ ὀλίγον μέλλοντος τοῦ καὶ ἀττικοῦ Ἑ ν . τετύψομαι τετύψῃ τετύψεται Δ υ . τετυψόμεθον τετύψεσθον τετύψεσθον Πλη θ . τετυψόμεθα τετύψεσθε τετύψονται Ἀπαρέμφατα ἐνεργητικὰ χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ τύπτειν Παρακειμένου καὶ ὑπερσυντελίκου τετυφέναι Μέσου παρακειμένου καὶ ὑπερσυντελίκου τετυπέναι Ἀορίστου α′ τύψαι Ἀορίστου β′ τυπεῖν Μέλλοντος α′ τύψειν Ἀορίστου β′ καὶ μέλλοντος τυπεῖν Ἀπαρέμφατα παθητικὰ χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ τύπτεσθαι Παρακειμένου καὶ ὑπερσυντελίκου τετύφθαι Ἀορίστου α′ τυφθῆναι Μέσου ἀορίστου α′ τύψασθαι Ἀορίστου β′ τυπῆναι Μέσου ἀορίστου β′ τυπέσθαι Μέλλοντος α′ τυφθήσεσθαι Μέσου μέλλοντος α′ τύψεσθαι Μέλλοντος β′ τυπήσεσθαι Μέσου μέλλοντος β′ τυπεῖσθαι Με τ ’ ὀλίγον μέλλοντος τοῦ καὶ ἀττικοῦ τετύψεσθαι Προστακτικὰ ἐνεργητικὰ χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ Ἑ ν . [5]

1 1 128,col1 τύπτε τυπτέτω Δ υ . τύπτετον τυπτέτων Πλη θ . τύπτετε τυπτέτωσαν Παρακειμένου καὶ ὑπερσυντελίκου Ἑ ν . τέτυφε τετυφέτω Δ υ . τετύφετον τετυφέτων Πλη θ . τετύφετε τετυφέτωσαν Μέσου παρακειμένου καὶ ὑπερσυντελίκου Ἑ ν . τέτυπε τετυπέτω Δ υ . τετύπετον τετυπέτων Πλη θ . τετύπετε τετυπέτωσαν Ἀορίστου καὶ μέλλοντος α′ Ἑ ν . τύψον τυψάτω Δ υ . τύψατον τυψάτων Πλη θ . τύψατε τυψάτωσαν Ἀορίστου καὶ μέλλοντος β′ Ἑ ν . [40]

1 1 128,col2 τύπε τυπέτω Δ υ . τύπετον τυπέτων Πλη θ . τύπετε τυπέτωσαν Προστακτικὰ παθητικὰ χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ Ἑ ν . τύπτου τυπτέσθω Δ υ . τύπτεσθον τυπτέσθων Πλη θ . τύπτεσθε τυπτέσθωσαν Παρακειμένου καὶ ὑπερσυντελίκου Ἑ ν . τέτυψο τετύφθω Δ υ . τέτυφθον τετύφθων Πλη θ . τέτυφθε τετύφθωσαν Ἀορίστου καὶ μέλλοντος α′ Ἑ ν . τύφθητι τυφθήτω Δ υ . τύφθητον τυφθήτων Πλη θ . τύφθητε τυφθήτωσαν Μέσου ἀορίστου καὶ μέλλοντος α′ Ἑ ν . [40]

1 1 128,col3 τύψαι τυψάσθω Δ υ . τύψασθον τυψάσθων Πλη θ . τύψασθε τυψάσθωσαν Ἀορίστου καὶ μέλλοντος β′ Ἑ ν . τύπηθι τυπήτω Δ υ . τύπητον τυπήτων Πλη θ . τύπητε τυπήτωσαν Μέσου ἀορίστου καὶ μέλλοντος β′ Ἑ ν . τυποῦ τυπέσθω Δ υ . τύπεσθον τυπέσθων Πλη θ . τύπεσθε τυπέσθωσαν Εὐκτικὰ ἐνεργητικὰ χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ Ἑ ν . τύπτοιμι τύπτοις τύπτοι Δ υ . τύπτοιτον τυπτοίτην Πλη θ . τύπτοιμεν τύπτοιτε τύπτοιεν Παρακειμένου καὶ ὑπερσυντελίκου Ἑ ν . [40]

1 1 129,col1 τετύφοιμι τετύφοις τετύφοι Δ υ . τετύφοιτον τετυφοίτην Πλη θ . τετύφοιμεν τετύφοιτε τετύφοιεν Μέσου παρακειμένου καὶ ὑπερσυντελίκου Ἑ ν . τετύποιμι τετύποις τετύποι Δ υ . τετύποιτον τετυποίτην Πλη θ . τετύποιμεν τετύποιτε τετύποιεν Ἀορίστου α′ Ἑ ν . τύψαιμι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τύψαις τύψαι Δ υ . τύψαιτον τυψαίτην Πλη θ . τύψαιμεν τύψαιτε τύψαιεν Ἀορίστου β′ Ἑ ν . τύποιμι τύποις τύποι Δ υ . τύποιτον τυποίτην Πλη θ . τύποιμεν τύποιτε τύποιεν Μέλλοντος α′ Ἑ ν . τύψοιμι τύψοις τύψοι Δ υ . τύψοιτον τυψοίτην Πλη θ . τύψοιμεν τύψοιτε τύψοιεν Μέλλοντος β′ Ἑ ν . [45]

1 1 129,col2 τυποῖμι τυποῖς τυποῖ Δ υ . τυποῖτον τυποίτην Πλη θ . τυποῖμεν τυποῖτε τυποῖεν Εὐκτικὰ παθητικὰ χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ Ἑ ν . τυπτοίμην τύπτοιο τύπτοιτο Δ υ . τυπτοίμεθον τύπτοισθον τυπτοίσθην Πλη θ . τυπτοίμεθα τύπτοισθε τύπτοιντο Παρακειμένου καὶ ὑπερσυντελίκου Ἑ ν . τετυμμένος εἴην, εἴης, εἴη Δ υ . τετυμμένω εἴητον, εἰήτην Πλη θ . τετυμμένοι εἴημεν, εἴητε, εἴησαν Ἀορίστου α′ Ἑ ν . τυφθείην τυφθείης τυφθείη Δ υ . τυφθείητον τυφθειήτην Πλη θ . τυφθείημεν τυφθείητε τυφθείησαν Μέσου ἀορίστου α′ Ἑ ν . τυψαίμην τύψαιο τύψαιτο Δ υ . τυψαίμεθον τύψαισθον τυψαίσθην Πλη θ . [45]

1 1 129,col2 (50) τυψαίμεθα τύψαισθε τύψαιντο Ἀορίστου β′ Ἑ ν .

1 1 129,col3 τυπείην τυπείης τυπείη Δ υ . τυπείητον τυπειήτην Πλη θ . τυπείημεν τυπείητε τυπείησαν Μέσου ἀορίστου β′ Ἑ ν . τυποίμην τύποιο τύποιτο Δ υ . τυποίμεθον τύποισθον τυποίσθην Πλη θ . τυποίμεθα τύποισθε τύποιντο Μέλλοντος α′ Ἑ ν . τυφθησοίμην τυφθήσοιο τυφθήσοιτο Δ υ . τυφθησοίμεθον τυφθήσοισθον τυφθησοίσθην Πλη θ . τυφθησοίμεθα τυφθήσοισθε τυφθήσοιντο Μέσου μέλλοντος α′ Ἑ ν . τυψοίμην τύψοιο τύψοιτο Δ υ . τυψοίμεθον τύψοισθον τυψοίσθην Πλη θ . τυψοίμεθα τύψοισθε τύψοιντο Μέλλοντος β′ Ἑ ν . τυπησοίμην τυπήσοιο τυπήσοιτο Δ υ . τυπησοίμεθον τυπήσοισθον τυπησοίσθην Πλη θ . [45]

1 1 129,col3 (50) τυπησοίμεθα τυπήσοισθε τυπήσοιντο Μέσου μέλλοντος β′ Ἑ ν .

1 1 130,col1 τυποίμην τυποῖο τυποῖτο Δ υ . τυποίμεθον τυποῖσθον τυποίσθην Πλη θ . τυποίμεθα τυποῖσθε τυποῖντο Με τ ’ ὀλίγον μέλλοντος τοῦ καὶ ἀττικοῦ Ἑ ν . τετυψοίμην τετύψοιο τετύψοιτο Δ υ . τετυψοίμεθον τετύψοισθον τετυψοίσθην Πλη θ . τετυψοίμεθα τετύψοισθε τετύψοιντο Ὑποτακτικὰ ἐνεργητικὰ χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ Ἑ ν . ἐὰν τύπτω ἐὰν τύπτῃς ἐὰν τύπτῃ Δ υ . ἐὰν τύπτητον ἐὰν τύπτητον Πλη θ . ἐὰν τύπτωμεν ἐὰν τύπτητε ἐὰν τύπτωσι Παρακειμένου καὶ ὑπερσυντελίκου Ἑ ν . ἐὰν τετύφω τετύφῃς τετύφῃ Δ υ . ἐὰν τετύφητον τετύφητον Πλη θ . ἐὰν τετύφωμεν τετύφητε ἐὰν τετύφωσιν Μέσου παρακειμένου καὶ ὑπερσυντελίκου Ἑ ν . [45]

1 1 130,col2 ἐὰν τετύπω τετύπῃς τετύπῃ Δ υ . ἐὰν τετύπητον τετύπητον Πλη θ . ἐὰν τετύπωμεν τετύπητε τετύπωσιν Ἀορίστου καὶ μέλλοντος α′ Ἑ ν . ἐὰν τύψω τύψῃς τύψῃ Δ υ . ἐὰν τύψητον τύψητον Πλη θ . ἐὰν τύψωμεν ἐὰν τύψητε ἐὰν τύψωσιν Ἀορίστου καὶ μέλλοντος β′ Ἑ ν . ἐὰν τύπω τύπῃς τύπῃ Δ υ . ἐὰν τύπητον τύπητον Πλη θ . ἐὰν τύπωμεν ἐὰν τύπητε ἐὰν τύπωσι Ὑποτακτικὰ παθητικὰ χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ Ἑ ν . ἐὰν τύπτωμαι τύπτῃ τύπτηται Δ υ . ἐὰν τυπτώμεθον ἐὰν τύπτησθον ἐὰν τύπτησθον Πλη θ . ἐὰν τυπτώμεθα τύπτησθε τύπτωνται Παρακειμένου καὶ ὑπερσυντελίκου Ἑ ν . [45]

1 1 130,col3 ἐὰν τετυμμένος ὦ, ᾖς, ᾖ Δ υ . ἐὰν τετυμμένω ἦτον, ἦτον Πλη θ . ἐὰν τετυμμένοι ὦμεν, ἦτε, ὦσι Ἀορίστου καὶ μέλλοντος α′ Ἑ ν . ἐὰν τυφθῶ τυφθῇς τυφθῇ Δ υ . ἐὰν τυφθῆτον τυφθῆτον Πλη θ . ἐὰν τυφθῶμεν ἐὰν τυφθῆτε ἐὰν τυφθῶσι Μέσου ἀορίστου καὶ μέλλοντος α′ Ἑ ν . ἐὰν τύψωμαι τύψῃ τύψηται Δ υ . ἐὰν τυψώμεθον τύψησθον τύψησθον Πλη θ . ἐὰν τυψώμεθα ἐὰν τύψησθε ἐὰν τύψωνται Ἀορίστου καὶ μέλλοντος β′ Ἑ ν . ἐὰν τυπῶ τυπῇς τυπῇ Δ υ . ἐὰν τυπῆτον τυπῆτον Πλη θ . ἐὰν τυπῶμεν τυπῆτε τυπῶσι Μέσου ἀορίστου καὶ μέλλοντος β′ Ἑ ν . [40]

1 1 131,col1 (2) ἐὰν τύπωμαι τύπῃ τύπηται Δ υ . ἐὰν τυπώμεθον ἐὰν τύπησθον ἐὰν τύπησθον Πλη θ . ἐὰν τυπώμεθα τύπησθε τύπωνται Με τ ’ ὀλίγον μέλλοντος τοῦ καὶ ἀττικοῦ Ἑ ν . ἐὰν τετύψωμαι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τετύψῃ τετύψηται Δ υ . ἐὰν τετυψώμεθον τετύψησθον τετύψησθον Πλη θ . ἐὰν τετυψώμεθα τετύψησθε τετύψωνται Μετοχαὶ ἐνεργητικαὶ χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ Ἑ ν . ὁ τύπτων, ἡ τύπτουσα, τὸ τύπτον Δ υ . τὼ τύπτοντε, τὰ τυπτούσα Πλη θ . οἱ τύπτοντες, αἱ τύπτουσαι, τὰ τύπτοντα Παρακειμένου καὶ ὑπερσυντελίκου Ἑ ν . ὁ τετυφώς, ἡ τετυφυῖα, τὸ τετυφός Δ υ . τὼ τετυφότε, τὰ τετυφυία Πλη θ . οἱ τετυφότες, αἱ τετυφυῖαι, τὰ τετυφότα Μέσου παρακειμένου καὶ ὑπερσυντελίκου Ἑ ν .

1 1 131,col2 (2) ὁ τετυπώς, ἡ τετυπυῖα, τὸ τετυπός Δ υ . τὼ τετυπότε, τὰ τετυπυία Πλη θ . οἱ τετυπότες, αἱ τετυπυῖαι, τὰ τετυπότα Ἀορίστου α′ Ἑ ν . ὁ τύψας, ἡ τύψασα, τὸ τύψαν Δ υ . τὼ τύψαντε, τὰ τυψάσα Πλη θ . οἱ τύψαντες, αἱ τύψασαι, τὰ τύψαντα Ἀορίστου β′ Ἑ ν . ὁ τυπών, ἡ τυποῦσα, τὸ τυπόν Δ υ . τὼ τυπόντε, τὰ τυπούσα Πλη θ . οἱ τυπόντες, αἱ τυποῦσαι, τὰ τυπόντα Μέλλοντος α′ Ἑ ν . ὁ τύψων, ἡ τύψουσα, τὸ τύψον Δ υ . τὼ τύψοντε, τὰ τυψούσα Πλη θ . οἱ τύψοντες, αἱ τύψουσαι, τὰ τύψοντα Μέλλοντος β′ Ἑ ν . ὁ τυπῶν, ἡ τυποῦσα, τὸ τυποῦν Δ υ . τὼ τυποῦντε, τὰ τυπούσα Πλη θ . οἱ τυποῦντες, αἱ τυποῦσαι, τὰ τυποῦντα Μετοχαὶ παθητικαὶ χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ Ἑ ν .

1 1 131,col3 (2) ὁ τυπτόμενος, ἡ τυπτομένη, τὸ τυπτόμενον Δ υ . τὼ τυπτομένω, τὰ τυπτομένα Πλη θ . οἱ τυπτόμενοι, αἱ τυπτόμεναι, τὰ τυπτόμενα Παρακειμένου καὶ ὑπερσυντελίκου Ἑ ν . ὁ τετυμμένος, ἡ τετυμμένη, τὸ τετυμμένον Δ υ . τὼ τετυμμένω, τὰ τετυμμένα Πλη θ . οἱ τετυμμένοι, αἱ τετυμμέναι, τὰ τετυμμένα Ἀορίστου α′ Ἑ ν . ὁ τυφθείς, ἡ τυφθεῖσα, τὸ τυφθέν Δ υ . τὼ τυφθέντε, τὰ τυφθείσα Πλη θ . οἱ τυφθέντες, αἱ τυφθεῖσαι, τὰ τυφθέντα Μέσου ἀορίστου α′ Ἑ ν . ὁ τυψάμενος, ἡ τυψαμένη, τὸ τυψάμενον Δ υ . τὼ τυψαμένω, τὰ τυψαμένα Πλη θ . οἱ τυψάμενοι, αἱ τυψάμεναι, τὰ τυψάμενα Ἀορίστου β′ Ἑ ν .

1 1 132,col1 ὁ τυπείς, ἡ τυπεῖσα, τὸ τυπέν Δ υ . τὼ τυπέντε, τὰ τυπείσα Πλη θ . οἱ τυπέντες, αἱ τυπεῖσαι, τὰ τυπέντα Μέσου ἀορίστου β′ Ἑ ν . ὁ τυπόμενος, ἡ τυπομένη, τὸ τυπόμενον Δ υ . τὼ τυπομένω, τὰ τυπομένα Πλη θ . οἱ τυπόμενοι, αἱ τυπόμεναι, τὰ τυπόμενα Μέλλοντος α′ Ἑ ν .

1 1 132,col2 ὁ τυφθησόμενος, ἡ τυφθησομένη, τὸ τυφθησόμενον Δ υ . τὼ τυφθησομένω, τὰ τυφθησομένα Πλη θ . οἱ τυφθησόμενοι, αἱ τυφθησόμεναι, τὰ τυφθησόμενα Μέσου μέλλοντος α′ Ἑ ν . ὁ τυψόμενος, ἡ τυψομένη, τὸ τυψόμενον Δ υ . τὼ τυψομένω, τὰ τυψομένα Πλη θ . οἱ τυψόμενοι, αἱ τυψόμεναι, τὰ τυψόμενα Μέλλοντος β′ Ἑ ν .

1 1 132,col3 ὁ τυπησόμενος, ἡ τυπησομένη, τὸ τυπησόμενον Δ υ . τὼ τυπησομένω, τὰ τυπησομένα Πλη θ . οἱ τυπησόμενοι, αἱ τυπησόμεναι, τὰ τυπησόμενα Μέσου μέλλοντος β′ Ἑ ν . ὁ τυπούμενος, ἡ τυπουμένη, τὸ τυπούμενον Δ υ . τὼ τυπουμένω, τὰ τυπουμένα Πλη θ . οἱ τυπούμενοι, αἱ τυπούμεναι, τὰ τυπούμενα Με τ ’ ὀλίγον μέλλοντος τοῦ καὶ ἀττικοῦ Ἑ ν . ὁ τετυψόμενος, ἡ τετυψομένη, τὸ τετυψόμενον Δ υ . τὼ τετυψομένω, τὰ τετυψομένα Πλη θ . οἱ τετυψόμενοι, αἱ τετυψόμεναι, τὰ τετυψόμενα

Eulogikon public reading copy · View original HTML at eulogikon.org